σπιδι ἦν, Φρυνίχῳ τε καὶ Χοιρίλῳ, εἰς τόσονδε μέγεθος τὴν τραγῳδίαν προσαγαγεῖν, ἢ ἐπὶ Αἰσχύλῳ εἰπόντα εἰς τὴν Σοφοκλέους ἐλθεῖν τελειότητα.

## ΕΠΙΓΡΑΜΜΑ ΓΡΑΦΕΝ ΕΙΣ ΤΟΝ ΑΙΣΧΥΛΟΥ ΤΑΦΟΝ·

Αἰετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανον.

Φασὶν δὲ ὑπὸ Ἱέρωνος ἀναδιδάξαι ἀξιωθέντα τοὺς Πέρσας ἐν Σικελίᾳ, καὶ λίαν εὐδοκιμῆσαι ἐκ τῆς μουσικῆς ἱστορίας. Ταύτῃ καὶ ἄριστα εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. Καί τινες ἤδη τῶν τραγῳδιῶν διὰ μόνων οἰκονομοῦνται θεῶν, καθάπερ οἱ Προμηθεῖς. Τὰ γὰρ δράματα συμπληροῦσιν οἱ πρεσβύτατοι τῶν θεῶν, καὶ ἔστι τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήσεως θεῖα πάντα τὰ πρόσωπα.

Τῶν ποιημάτων ἃ μέν ἐστι διεξοδικὰ, καὶ διηγηματικὰ καὶ ἐπαγγελτικά· ἃ δὲ δραματικὰ καὶ μιμητικά· ἃ δὲ ἐξ ἀμφοῖν· ἃ δὲ μόνον δρα-